Demosthenes: Orationes
Kreta?, 2. Viertel 15. Jh. Seite 24r



φησὶ, διὰ τὸ ῥαγῆναι τὴν ναῦν καὶ εἶναι σαθράν. ὡς δὲ Δαρεῖος λέγει, διὰ τὸ πυθέσθαι τὸν σῖτον Ἀθήνησιν εὐωνότερον γεγονέναι. τῶν γὰρ μὲν σωμάτων ὑπάρχειν φησί· καὶ πλεῖν ἕτοιμοι. οἱ μὲν οὖν δανείσαντες, καὶ κατηγοροῦσι τοῦ Διονυσοδώρου, παραβεβηκέναι τὴν συγγραφήν· διότι τὴν ὑποθήκην, τουτέστι τὴν ναῦν, οὐ παρέσχεν ἐμφανῆ· καὶ ἀπαιτοῦσιν αὐτὸν τοὺς ὁμολογηθέντας τόκους τελείους· ὁ δὲ, οὐ πάντας ἀποδιδόναι βούλεται· ἀλλ' ἅπερ οἱ ὀλίγου τοῦ πλοῦ τοῦ πεπλευκότες.–

## κατὰ Διονυσοδώρου βλάβης λόγος

Κοινωνός εἰμι τοῦ δανείσματος τούτου ὦ ἄνδρες δικασταί. συμβαίνει δ' ἡμῖν τοῖς κατὰ θάλατταν τὴν ἐργασίαν προῃρημένοις, καὶ τὰ ἡμέτερα αὐτῶν ἐγχειρίζουσιν ἑτέροις· ἐκεῖνο σαφὲς εἶναι, ὅτι ὁ δανειζόμενος ἐν παντὶ προέχει ἡμῶν. λαβὼν γὰρ ἀργύριον φανερὸν καὶ ὁμολογούμενον, ἐν γραμματιδίῳ δυοῖν χαλκοῖν ἐωνημένῳ, καὶ βιβλιδίῳ μικρῷ πάνυ, τὴν ὁμολογίαν καταλέλοιπε τοῦ ποιήσειν τὰ δίκαια. ἡμεῖς δ' οὐ φαμὲν δώσειν· ἀλλ' εὐθὺς τῷ δανειζομένῳ δίδομεν τὸ ἀργύριον. τῷ οὖν πιστεύοντες καὶ τί λαβόντες τὸ βέβαιον προϊέμεθα; ὑμῖν ὦ ἄνδρες δικασταί, καὶ τοῖς νόμοις τοῖς ὑμετέροις· οἳ κελεύουσιν ὅσα ἄν τις ἑκὼν ἕτερος ἑτέρῳ ὁμολογήσῃ, ταῦτα κύρια εἶναι. ἀλλά μοι δοκεῖ οὔτε τῶν νόμων οὔτε συγγραφῆς οὐδεμιᾶς ὄφελος εἶναι οὐδέν, ἂν ὁ λαμβάνων τὰ χρήματα μὴ πάνυ δίκαιος ᾖ τὸν τρόπον, καὶ δυοῖν θάτερον ἢ ὑμᾶς δεδιὼς,

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_224/0057
The Polonsky Foundation